# ΙΟΥΔΑ

**1** Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν θεῷ πατρὶ
⸀ἠγαπημένοις καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς· **2** ἔλεος ὑμῖν καὶ εἰρήνη
καὶ ἀγάπη πληθυνθείη.
**3** Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς
⸀ἡμῶν σωτηρίας ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ
ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. **4** παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ
πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ θεοῦ ἡμῶν χάριτα
μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον ⸀δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν
Χριστὸν ἀρνούμενοι.
**5** Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ⸂ὑμᾶς ἅπαξ⸃ ⸀πάντα, ὅτι ⸀Ἰησοῦς
λαὸν ἐκ γῆς Αἰγύπτου σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν,
**6** ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας
τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον
τετήρηκεν· **7** ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον
⸂τρόπον τούτοις⸃ ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας,
πρόκεινται δεῖγμα πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.
**8** Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν,
κυριότητα δὲ ἀθετοῦσιν, δόξας δὲ βλασφημοῦσιν. **9** ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος,
ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ
ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλὰ εἶπεν· Ἐπιτιμήσαι σοι
κύριος. **10** οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς
τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις φθείρονται. **11** οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ
τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ
τῇ ἀντιλογίᾳ τοῦ Κόρε ἀπώλοντο. **12** οὗτοί εἰσιν ⸀οἱ ἐν ταῖς ἀγάπαις ὑμῶν

**1** **ἠγαπημένοις** WH Treg NIV ] ἡγίασμένοις RP **3** **ἡμῶν** WH Treg NIV ] – RP **4** **δεσπότην** WH Treg NIV ] + θεόν RP **5** **ὑμᾶς ἅπαξ** RP ] ἅπαξ ὑμᾶς NIV; ἅπαξ WH Treg; ὑμᾶς NA • **πάντα** WH Treg NIV ] τοῦτο RP • **Ἰησοῦς** Holmes WH[marg] ] κύριος WH Treg; ὁ κύριος NIV RP; ὁ κύριος ἅπαξ NA **7** **τρόπον τούτοις** WH Treg NIV ] τούτοις τρόπον RP **12** **οἱ** WH Treg NIV ] – RP

σπιλάδες συνευωχούμενοι, ἀφόβως ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι
ὑπὸ ἀνέμων παραφερόμεναι, δένδρα φθινοπωρινὰ ἄκαρπα δὶς ἀποθανόντα
ἐκριζωθέντα, **13** κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας,
ἀστέρες πλανῆται οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.

**14** Προεφήτευσεν δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἑνὼχ λέγων· Ἰδοὺ
ἦλθεν κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, **15** ποιῆσαι κρίσιν κατὰ πάντων καὶ
ἐλέγξαι ⸂πάντας τοὺς ἀσεβεῖς⸃ περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν
ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ’ αὐτοῦ ἁμαρτωλοὶ
ἀσεβεῖς. **16** οὗτοί εἰσιν γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας ⸀αὐτῶν
πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα
ὠφελείας χάριν.

**17** Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ
τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· **18** ὅτι ἔλεγον ⸀ὑμῖν· ⸂Ἐπ’
ἐσχάτου χρόνου⸃ ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι
τῶν ἀσεβειῶν. **19** οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, πνεῦμα μὴ ἔχοντες.
**20** ὑμεῖς δέ, ἀγαπητοί, ⸂ἐποικοδομοῦντες ἑαυτοὺς τῇ ἁγιωτάτῃ ὑμῶν πίστει⸃,
ἐν πνεύματι ἁγίῳ προσευχόμενοι, **21** ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε
προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον. **22** καὶ
οὓς μὲν ⸀ἐλεᾶτε ⸂διακρινομένους, **23** οὓς δὲ σῴζετε ἐκ πυρὸς ἁρπάζοντες, οὓς δὲ
ἐλεᾶτε ἐν φόβῳ⸃, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

**24** Τῷ δὲ δυναμένῳ φυλάξαι ⸀ὑμᾶς ἀπταίστους καὶ στῆσαι κατενώπιον
τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει **25** ⸀μόνῳ θεῷ σωτῆρι ἡμῶν ⸂διὰ
Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν⸃ ⸀δόξα μεγαλωσύνη κράτος καὶ ἐξουσία ⸂πρὸ
παντὸς τοῦ αἰῶνος⸃ καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν.

---

**15** ***πάντας τοὺς ἀσεβεῖς*** WH Treg NIV ] + *αὐτῶν* RP; πᾶσαν ψυχὴν NA **16** ***αὐτῶν*** WH Treg RP ] ἑαυτῶν NIV **18** **ὑμῖν** WH ] + ὅτι Treg NIV RP • **Ἐπ’ ἐσχάτου χρόνου** WH Treg ] Ἐπ’ ἐσχάτου τοῦ χρόνου NIV; ἐν ἐσχάτῳ χρόνῳ RP **20** ***ἐποικοδομοῦντες ἑαυτοὺς τῇ ἁγιωτάτῃ ὑμῶν πίστει*** WH Treg NIV ] τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς RP **22–23** **ἐλεᾶτε** WH NIV ] ἐλεεῖτε RP; ἐλέγχετε Treg • **διακρινομένους οὓς δὲ σῴζετε ἐκ πυρὸς ἁρπάζοντες οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ** Treg NIV ] διακρινομένους σῴζετε ἐκ πυρὸς ἁρπάζοντες οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ WH; διακρινομένοι οὓς δὲ ἐν φόβῳ σῴζετε ἐκ πυρὸς ἁρπάζοντες RP **24** **ὑμᾶς** WH Treg NIV ] *αὐτούς* RP **25** ***μόνῳ*** WH Treg NIV ] + σοφῷ RP • **διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν** WH Treg NIV ] – RP • **δόξα** WH Treg NIV ] + *καὶ* RP • **πρὸ παντὸς τοῦ αἰῶνος** WH Treg NIV ] – RP